κάνορος προτομὴν ἐκ τῆς ἄκρας ἐπίδηλον πᾶσιν καὶ φανερὸν τῆς
τοῦ κυρίου βοηθείας σημεῖον. 36 ἐδογμάτισαν δὲ πάντες μετὰ κοινοῦ 36
ψηφίσματος μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον τήνδε τὴν ἡμέραν, ἔχειν
δὲ ἐπίσημον τὴν τρισκαιδεκάτην τοῦ δωδεκάτου μηνὸς — Αδαρ
λέγεται τῇ Συριακῇ φωνῇ — πρὸ μιᾶς ἡμέρας τῆς Μαρδοχαϊκῆς
ἡμέρας.
37 Τῶν οὖν κατὰ Νικάνορα χωρησάντων οὕτως καὶ ἀπ᾽ ἐκείνων 37
τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ τῶν Εβραίων καὶ αὐτὸς
αὐτόθι τὸν λόγον καταπαύσω. 38 καὶ εἰ μὲν καλῶς εὐθίκτως τῇ συν- 38
τάξει, τοῦτο καὶ αὐτὸς ἤθελον· εἰ δὲ εὐτελῶς καὶ μετρίως, τοῦτο
ἐφικτὸν ἦν μοι. 39 καθάπερ γὰρ οἶνον κατὰ μόνας πίνειν, ὡσαύτως 39
δὲ καὶ ὕδωρ πάλιν πολέμιον· ὃν δὲ τρόπον οἶνος ὕδατι συγκερα-
σθεὶς ἡδὺς καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ, οὕτως καὶ τὸ τῆς
κατασκευῆς τοῦ λόγου τέρπει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων τῇ
συντάξει. ἐνταῦθα δὲ ἔσται ἡ τελευτή.

36 συριακη] κυριακη A† || 38 ει μεν] ειπεν A† || 39 γαρ > A pau. | ηδυς *L*] ηδη AV*, ηδεια Vc(†)

Subscr. ιουδα του μακκ⟨αβ⟩αιου πραξεων επιστολη A†, ιουδα μακκαβαιου πραξεων επιτομη V†: cf. inscr.

## ΜΑΚΚΑΒΑΙΩΝ Γʹ

1 Ὁ δὲ Φιλοπάτωρ παρὰ τῶν ἀνακομισθέντων μαθὼν τὴν γενο- 1
μένην τῶν ὑπ᾽ αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου
παραγγείλας ταῖς πάσαις δυνάμεσιν πεζικαῖς τε καὶ ἱππικαῖς καὶ
τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβὼν ἐξώρμησεν μέχρι τῶν κατὰ
Ῥαφίαν τόπων, ὅπου παρεμβεβλήκεισαν οἱ περὶ Ἀντίοχον. 2 Θεό- 2
δοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθεὶς παραλαβὼν
τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαϊκῶν τὰ κράτιστα
διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνὴν ὡς μόνος κτεῖ-
ναι αὐτὸν καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον. 3 τοῦτον δὲ διαγα- 3
γὼν Δοσίθεος ὁ Δριμύλου λεγόμενος, τὸ γένος Ιουδαῖος, ὕστερον
δὲ μεταβαλὼν τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριω-
μένος, ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ, ὃν συνέβη κομίσασθαι
τὴν ἐκείνου κόλασιν. 4 γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν πραγ- 4

Mac. III: A. — *L* = 64 236, cf. Mac. I. II.

Inscr. γʹ] pr. λογος A† hoc loco, non in subscr.

1 1 γενομενην V*L*] γειν. A: cf. 15 | υπ] επ A† | τε > AV† | fin. αντιοχον] pr. τον V*L* || 3 διαγαγων] διαγων A† | δοσιθεος] δωσ. A